ἔωσεν ἀπώσατο, ἐνέβαλεν· "ἣ δὲ ἐγκύψαντα αὐτὸν εἰς πίθον ἵνα ἀρύσηται οἶνον, ἔωσεν ἐς κεφαλὴν καὶ ἀπέπνιξεν." καὶ περὶ τοῦ Αἰσώπου "οἱ Δελφοὶ ἔωσαν αὐτὸν κατὰ κρημνοῦ μάλα."

ἑωσφόρος ἀνατολικὸς ἀστὴρ πρωινός, καλούμενος φωσφόρος. Ὅμηρος (Ψ 226) τοῦτον λέγει φέρειν τὴν ἡμέραν, ἀλλ' οὐχὶ τὸν ἥλιον.

ἑωυτός ἑαυτός.

ζαβαρεῖον ἐν ᾧ αἱ ζάβαι, αἵ εἰσιν ὅπλα πολεμικά, ἀπόκεινται· ζάβα γὰρ τὸ λωρίκιον.

Ζαβουλών χώρα. λέγεται δὲ καὶ ὁ πάνυ βουλόμενος.

ζαβρόν πολυφάγον.

Ζαγρεύς ὁ Διόνυσος παρὰ ποιηταῖς· δοκεῖ γὰρ ὁ Ζεὺς μιχθῆναι τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος Διόνυσος.

ζαές μέγα, πολύ, λαμπρόν, ἢ ἰσχυρόν.

ζαῆν ἄνεμον (Hom. μ 313) τὸν σφοδρῶς πνέοντα.

ζαθέη ἄγαν θεία. καὶ ζαθέων.

ζαθερεῖ ἄγαν θερμῷ· ἐν ἐπιγράμματι (AP 6 120) "οἶδα καθίζων ἀείδειν ζαθερεῖ καύματι θαλπόμενος."

ζάκορος νεωκόρος· Μένανδρος Δὶς ἐξαπατῶντι "οὐ Μεγάβυζος ἦν, ὅστις γένοιτο ζάκορος." καὶ ὁ ὑπηρέτης· Λευκαδίᾳ "ἐπίθες τὸ πῦρ ἡ ζάκορος οὑτωσὶ καλῶς." ἢ ὁ ἱερεὺς ὁ τὸν ναὸν σαρῶν· κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς.

ζάκοτον (Hom. Γ 220) ἄγαν ὀργίλον· κότος γὰρ ἡ ὀργή.

Ζακχαῖος ὄνομα κύριον.

Ζάλευκος Λοκρὸς ἐκ Θουρίου, Πυθαγόρειος φιλόσοφος καὶ νομοθέτης, ὃς τελευτᾷ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος. ἦν δὲ οὗτος πρότερον δοῦλός τε καὶ ποιμήν, καὶ ἐκπαιδευθεὶς νόμους ἔθετο τοῖς ἑαυτοῦ πολίταις· ἐν οἷς καὶ τὸ προϊούσας ἐπ' ἀγορᾶς τὰς γυναῖκας τὴν μὲν ἐλευθέραν λευχείμονα μετὰ οἰκείων, παιδίσκην μίαν ἔχουσαν, τὰς δὲ ἄλλας ἐν ἀνθινοῖς.

ζάλην μεγάλην ἅλα, ἀπὸ τοῦ σφόδρα ἁλίζεσθαι· καὶ ζάπλουτος ὁ σφόδρα πλούσιος. Πλάτων πολιτείᾳ (6 p. 496 D) "οἷον ἐν χειμῶνι ὑπὸ κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς," καὶ ἐν Τιμαίῳ (p. 43 C) "εἴτε ζάλῃ πνεύματος ὑπ' ἀέρος φερομένη καταληφθείη·" συστροφὴν γὰρ καὶ συρμὸν βούλεται δηλοῦν. τινὲς ἄνεμος λάβρος, πνεῦμα θορυβῶδες. Κλήμης (cf. v. παλίμβολος). δύναται καὶ ζάλη τις εἶναι μεγάλη συστροφὴ ἀνέμου. τινὲς ζάλην τὴν χάλαζαν.

Ζαμβρῆς Ζαμβρῆ ὄνομα κύριον.

ζαμβύκη μουσικὸν ὄργανον.

ζαμενής· Σοφοκλῆς (Ai. 137) "ἢ ζαμενὴς λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ," ἤγουν ὀργίλος καὶ λοίδορος καὶ βίαιος.

Ζάμολξις Πυθαγόρᾳ δουλεύσας, ὥς Ἡρόδοτος δ', Σκύθης, ὃς ἐπανελθὼν ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ παρὰ Γέταις τὸν Κρόνον τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς Βαρβαρικοῖς νομίμοις φησὶν ὅτι Ἑλληνικός τε γεγονὼς τελετὰς κατέδειξε Γέταις τοῖς ἐν Θρᾴκῃ, καὶ ἔλεγεν ὅτι οὔτ' ἂν αὐτὸς ἀποθάνοι οὔθ' οἱ μετὰ τούτου, ἀλλ' ἕξουσι πάντα ἀγαθά. ἅμα δὲ ταῦτα λέγων ᾠκοδόμει οἴκημα κατάγαιον, ἔπειτα ἀφανισθεὶς αἰφνίδιον ἐκ Θρᾳκῶν ἐν τούτῳ διῃτᾶτο· οἱ δὲ Γέται ἐπόθουν αὐτόν. τετάρτῳ δὲ ἔτει πάλιν φαίνεται, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίστευσαν. λέγουσι δέ τινες ὡς ὁ Ζάμολξις ἐδούλευσε Πυθαγόρᾳ Μνησάρχου Σαμίῳ, καὶ ἐλευθερωθεὶς ταῦτα ἐσοφίζετο. ἀλλὰ πολὺ πρότερος δοκεῖ ὁ Ζάμολξις Πυθαγόρου γενέσθαι. ἀθανατίζουσι δὲ καὶ Τέριζοι καὶ Κρόβυζοι, καὶ τοὺς ἀποθανόντας ὡς Ζάμολξίν φασιν οἴχεσθαι, ἥξειν δὲ αὖθις. καὶ ταῦτα ἀεὶ νομίζουσιν ἀληθεύειν. θύουσι δὲ καὶ εὐωχοῦνται ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος.

Ζάμολξις θηλυκῶς, ὄνομα θεᾶς.

ζαπληθές ἄμετρον, ἄπειρον· (AP 7 75) "Στησίχορον ζαπληθὲς ἀμέτρητον στόμα μούσης ἐκτέρισε Κατάνας αἰθαλόεν δάπεδον."

ζατρεφής ὁ εὐτραφής, καὶ τὸ πληθυντικὸν ζατρεφέων (Hom. Η 223).

ζαφελής ὁ πάνυ ἀφελής, καὶ ζαφελῶς πάνυ ἀφελῶς.

Ζαχαρίας ὄνομα κύριον.

ζαχρειής ὁ ἄγαν χρειώδης. ζαχρήεις δὲ ζαχρήεντος.

Ζεβεδαῖος ὄνομα κύριον.

Ζεβεέ ὄνομα κύριον.

ζεῖ βράζει. καὶ Ὅμηρος (Φ 362) "ὡς δὲ λέβης ζεῖ," ἀπὸ τοῦ ζέω ῥήματος.

ζειά εἶδος κριθῆς.

ζείδωρον τὴν τὰ πρὸς τὸ ζῆν δωρουμέ-

νην. ἔϛι δὲ ἡ γῆ. καλεῖται δὲ καὶ βιοδώρα καὶ φερέσβιος.

Ζειπύτης ὄνομα κύριον.

ζειρά ἤτοι σειρά, ὥς τινες, ἢ ἔνδυμά τι ὃ ἐπενεδύοντο μετὰ τὸς χιτῶνας ὥσπερ ἐφαπτίδας.

ζειραί χιτῶνες ἀνακεκολπωμένοι ἢ ἀνάκωλοι. ἢ μίτρα. Ἡρόδοτος ⟨7 69 et 75⟩.

ζεῖ χύτρα, ζῇ φιλία, ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. καὶ ζῇ ἀντὶ τȣ̃ ὑπάρχει, βιοῖ.

Ζέλεια ὄνομα πόλεως, καὶ Ζελείτης ὁ πολίτης.

Ζέρκων Σκύθης ȣ̔́τω καλȣ́μενος, Μαυρȣ́σιος τὸ γένος. διὰ δὲ κακοφυΐαν σώματος καὶ τὸ γέλωτα ἐκ τῆς τραυλότητος τῆς φωνῆς καὶ τῆς ὄψεως παρέχειν (βραχὺς γάρ τις ἦν, κυρτός, διάϛροφος τοῖς ποσί, τὴν ῥῖνα τοῖς μυκτῆρσι παραφαίνων διὰ σιμότητος ὑπερβολήν) Ἄσπαρι τῷ Ἀρδαβουρίȣ ἐδεδώρητο, καθ' ὃν ἐν Λιβύῃ διέτριβε χρόνον. ἥλω δὲ τῶν βαρβάρων ἐς τὴν Θρᾳκῶν ἐμβαλόντων, καὶ παρὰ τοὺς βασιλείους ἤχθη Σκύθας. καὶ Ἀττήλας μὲν οὐδὲ τὴν αὐτȣ̃ ἤνεγκεν ὄψιν, ὁ δὲ Βλήδας ἥσθη λίαν αὐτῷ φθεγγομένῳ οὐ μόνον γέλωτος ἄξια, εἰ μή γε καὶ βαδίζοντι καὶ περιττῶς κινοῦντι τὸ σῶμα. συνῆν δὲ αὐτῷ εὐωχουμένῳ καὶ ἐκϛρατεύοντι, πεποιημένην πρὸς τὸ γελοιότερον ἀναλαμβάνων ἐν ταῖς ἐξόδοις πανοπλίαν. διὸ δὴ περισπούδαϛον αὐτὸν ὁ Βλήδας ποιούμενος, μετὰ αἰχμαλώτων ἀποδράντα Ῥωμαίων, τῶν μὲν ἄλλων κατωλιγώρησεν, αὐτὸν δὲ μετὰ πάσης φροντίδος ἀναζητεῖσθαι προσέταξεν. καὶ ἁλόντα καὶ παρ' αὐτὸν ἀχθέντα ἐν δεσμοῖς ἰδὼν ἐγέλασεν, καὶ καθυφεὶς τῆς ὀργῆς ἐπυνθάνετο τὴν αἰτίαν τῆς φυγῆς, καὶ ὅτου χάριν νομίζοι τὰ Ῥωμαίων τῶν παρὰ σφίσιν ἀμείνονα. ὃ δὲ ἀπεκρίνατο ἁμάρτημα μὲν τὴν φυγὴν εἶναι, ἔχειν δὲ τοῦ ἁμαρτήματος λόγον τὸ μὴ γαμετὴν αὐτῷ δεδόσθαι. τῷ δὲ γέλωτι μᾶλλον ὁ Βλήδας ὑπαχθεὶς δίδωσιν αὐτῷ γυναῖκα τῶν εὖ μὲν γεγονότων καὶ τῇ βασιλίδι διακονησαμένων, ἀτόπου δέ τινος πράξεως ἕνεκα οὐκέτι παρ' ἐκείνην φοιτῶσαν. καὶ οὕτω διετέλει ἅπαντα τὸν χρόνον τῷ Βλήδᾳ συνών. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Ἀττήλας Ἀετίῳ τῷ ϛρατηγῷ τῶν ἑσπερίων Ῥωμαίων δῶρον τὸν Ζέρκωνα δίδωσιν, ὃς αὐτὸν παρὰ τὸν Ἄσπαρα ἀπέπεμψεν. Priscus p. 225 Nieb.

ζέσας θυμῷ ἐξαφθεὶς τῇ ψυχῇ.

ζευγήσιον τὸ τοῦ ζευγίτου τέλος.

ζεύγλη τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντίθησι τοὺς τραχήλους τὰ ζῷα.

ζεῦγμα, Εὐνάπιος ⟨p. 105 Nieb.⟩, ἡ τοῦ ποταμοῦ διάβασις, ἡ γέφυρα. "ζεύγνυται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα, ἅτε καὶ τοῦτο διὰ μελέτης ἀεὶ τοῖς ϛρατιώταις ὥσπερ ἄλλο τι τῶν πολεμικῶν ἀσκούμενον ἐπί τε Ἴϛρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. ἔϛι δὲ ὁ τρόπος (οὐ γὰρ δὴ πάντας εἰδέναι) τοιόσδε. πλατεῖαι μέν εἰσιν αἱ νῆες δι' ὧν ὁ ποταμὸς ζεύγνυται, ἀνορμίζονται δὲ ὀλίγον ἄνω τοῦ ῥεύματος ὑπὲρ τὸν μέλλοντα ζεύγνυσθαι τόπον. ἐπὰν δὲ τὸ σημεῖον δοθῇ, ἀφιᾶσι πρώτην μίαν ναῦν κατὰ ῥοῦν φέρεσθαι πλησίον τῆς οἰκείας ὄχθης. ἐπὰν δὲ κατὰ τὸν ζευγνύμενον ἥκῃ τόπον, ἐμβάλλουσιν εἰς τὸ ῥεῦμα φορμὸν λίθων ἐμπεπλησμένον, καλωδίῳ δήσαντες, ὥσπερ ἄγκυραν· ἀφ' οὗ δεθεῖσα ἡ ναῦς πρὸς τῇ ὄχθῃ ἵϛαται σανίσι καὶ ζεύγμασιν, ἅπερ ἄφθονα αὐτοῖς ἡ ναῦς φέρει, καὶ παραχρῆμα μέχρι τῆς ἀποβάσεως καταϛρώννυται. εἶτα ἄλλην ἀφιᾶσιν ὀλίγον ἀπ' ἐκείνης, καὶ ἄλλην ἀπ' ἐκείνης, ἔϛ' ἐπὶ τὴν ἀντιπέραν ὄχθην ἐλάσωσι τὸ ζεῦγμα. ἡ δὲ πρὸς τῇ πολεμίᾳ ναῦς καὶ πύργους ἐπ' αὐτῇ καὶ πυλίδα καὶ τοξότας καὶ καταπέλτας φέρει. βαλλομένων δὲ τῶν βελῶν πολλῶν ἐπὶ τοὺς ζευγνύντας, ὁ Κάσσιος ἀφιέναι βέλη καὶ καταπέλτας κελεύει. πεσόντων δὲ τῶν βαρβάρων τῶν πρώτων ἐφεϛηκότων ἕτεροι ἧκον" ⟨Dio Cass. 71 3⟩.

ζεῦγος ἡμιονικὸν ἢ βοεικὸν ζεύξαντες, τὴν λεγομένην κλινίδα, ἥ ἐϛιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιοῦνται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑϛίας ἐπὶ τὴν ἅμαξαν ἄγουσιν ἐς τὰ τοῦ γαμοῦντος ἑσπέρας ἱκανῆς. κάθηνται δὲ τρεῖς ἐπὶ τῆς ἁμάξης, μέση μὲν ἡ νύμφη, ἑκατέρωθεν δὲ ὅ τε νυμφίος καὶ ὁ πάροχος· οὗτος δέ ἐϛι φίλος ἢ συγγενὴς ὅτι μάλιϛα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ δὲ ἡ ἅμαξα ὄχημα ἐλέγετο, ὁ ἐκ τρίτου παροχούμενος πάροχος ἐκλήθη. καὶ ἀπὸ ταύτης τῆς συνηθείας, κἂν πεζοὶ μετίωσί τινες κόρην, ὁ τρίτος συμπαρὼν πάροχος λέγεται. cf. v. πάροχος.

ζευξιδία ἡ Ἥρα.

Ζευξίθεος ὄνομα κύριον.

ζευξίλεως ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί.

Ζεῦξις Ζεύξιδος ὄνομα κύριον, ἄριςος κατὰ τὸν Ἰσοκράτȣς χρόνον ζωγράφος. Harp.

Ζεύς. τούτου τὸ ἄγαλμα ἱςοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τȣ̃ κόσμιου μέρεσι. τὰ δὲ λοιπὰ σκέπεται, διότι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωςος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν σημαίνει τὸ ἐξουσιαςικόν, τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. Codin. orig. CP p. 14.

καὶ παροιμία "ὁ Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας," ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν, ὅτι ȣ̓κ ἀπρονόητά φασι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καὶ ποτὲ ἐπεξιέναι.

Ζεὺς κτήσιος, ὃν καὶ ἐν τοῖς ταμιείοις ἱδρύοντο ὡς πλουτοδότην.

ζεφυρία πνοή τοῦ ζεφύρου. καὶ ζεφύριον πνεῦμα· ζέφυρος γὰρ λεῖος ἄνεμος.

ζῇ ἀντὶ τοῦ ζῆθι Εὐριπίδης ⟨Iphig. T. 699⟩. καὶ ἀντὶ τοῦ ζέει.

Ζήβ ὄνομα κύριον Ἑβραϊκόν.

Ζήβυρες ὄνομα ἔθνους.

Ζήθης καὶ Ζῆθος ὀνόματα.

ζῇ, καῖε πῦρ, ἐπὶ τῶν μόλις γινομένων.

ζηλήμων ὁ ζηλούμενος.

Ζηλίτης ὄνομα κύριον.

a ζῆλος· Σοφοκλῆς ⟨Ai. 501⟩ "ἴδετε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιςον ἴσχυσε ςρατȣ̃, οἵας λατρείας ἀνθ' οἵου ζήλου τρέφει."

b ζῆλος ἀγαθοῦ τινὸς ἐπιθυμία φθόνου τινὸς χωρὶς ἐγγινομένη τῇ ψυχῇ. οἷον ἔχει τις ἀνδρείαν· ζηλῶ τοῦτον τῆς ἀρετῆς, τουτέςιν ἐπιθυμῶ κτήσασθαι τὸ καλόν, μὴ φθονήσας τῷ κεκτημένῳ, ἀλλὰ κἀγὼ βȣλόμενος ἀνδρεῖος εἶναι. Ἀππιανός ⟨t. 1 p. 54⟩ "Δευτάτῳ κατὰ ζῆλον ἀρετῆς εἵπετο νέων λογάδων πλῆθος ὀκτακοσίων, ἐπὶ πάντα τὰ ἔργα ἕτοιμοι· καὶ βαρὺς ἦν τῇ βουλῇ παρὰ τὰς ἐκκλησίας." καὶ Πολύβιος λέγει ⟨11 8⟩ "τοῖς γὰρ πλείςοις ὑπεγεγόνει τις ζῆλος ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ τῆς ἀκαιρίας· ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως, καί τις ἦν περὶ τȣ̀ς πλείςȣς καλλωπισμὸς ὑπερέχων τὴν ἐκ τȣ̃ βίȣ χορηγίαν, ὅπλων δὲ ȣ̓δὲ τὸν ἐλάχιςον ἐποιȣ̃ντο λόγον."

ζηλοτυπία ζῆλος ἐξ ὑπονοίας, τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας γυναικὸς εἰς ἕτερον ἀσελγῆ ὑπόνοια. Ἰάμβλιχος "ἣ δὲ μεςὴ μὲν ἦν καὶ τῆς ἔμπροσθεν ζηλοτυπίας, προσειλήφει δὲ καὶ τὴν ἀπὸ τῆς πράξεως εὐτολμίαν. ὡς οὖν ἐλάβετο τῆς ὁδοῦ, 'ὁ μὲν πρῶτος ἀγών' ἔφη 'διηγώνιςαι, ἐχώμεθα δὲ καὶ τοῦ δευτέρου· καὶ γὰρ ἐν καιρῷ γεγυμνάσμεθα."

ζηλοτυποῦν Αἰσχίνης ⟨3 211⟩ ἀντὶ τοῦ μισοῦν· ζηλοῦν γὰρ τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι. Harp.

ζήλου μιμοῦ.

ζηλοῦν· Σοφοκλῆς ⟨Ai. 552⟩ "καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω, ὁθούνεκ' ȣ̓δὲν τῶνδ' ἐπαισθάνῃ κακῶν. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιςος βίος. τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς."

ζηλῶ μακαρίζω· Ἀριςοφάνης Θεσμοφοριαζούσαις ⟨175⟩ "οὐ ζηλῶ σε τῆς παιδεύσεως." ⟨Ach. 1008⟩ "ζηλῶ σε τῆς εὐβȣλίας, μᾶλλον δὲ τῆς εὐωχίας, ἄνθρωπε, τῆς παρούσης." καὶ πάλιν ⟨Eq. 833⟩ "ζηλῶ σε τῆς εὐγλωττίας," ἀντὶ τοῦ τῆς γραφῆς, τῆς κατηγορίας. καὶ αὖθις ⟨Vesp. 1490⟩ "ζηλῶ γε τῆς εὐωχίας τὸν πρεσβύτην, οἷ μετέςη ξηρῶν τρόπων καὶ βιοτῆς, ἕτερα δὲ νῦν ἀντιμαθών."

ζηλώματα ζηλοτυπίας· ⟨AP 7 219⟩ "κώμους καὶ τὰ νέων ζηλώματα καὶ τὰ ποθεύντων κνίσματα καὶ μύςην λύχνον ἀπειπαμένη."

ζηλῶσαι μιμήσασθαι· Ἡρόδοτος ⟨immo Iulianus: cf. v. Ἡρόδοτος⟩ "ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει --- ἐλλέβορον."

ζηλωταί παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες· "Ἄνανος ἀποκλείσας τοὺς ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιςήσας παρεκάθητο." cf. v. Ἄνανος.

ζηλωτός μακαριςός, ἐπαινετός.

ζηλωτότατον μακάριον· Ἀριστοφάνης ⟨Nub. 463⟩ "ζηλωτότατον βίον ἀνθρώπων διάξεις."

ζημία ἡ ςέρησις.

Ζήν Ζηνός Ζηνί.

Ζηνόβιος σοφιςής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος, ἔγραψεν ἐπιτομὴν

τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις γʹ, μετάφρασιν ἑλληνιςὶ τῶν ἱςοριῶν Σαλουςίου τοῦ Ῥωμαϊκοῦ ἱςορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ βελῶν, γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα, καὶ ἄλλα.

a Ζηνόδοτος Ἀλεξανδρεὺς γραμματικός, ὁ ἐν ἄςει κληθείς, ἔγραψε πρὸς τὰ ὑπ' Ἀριςάρχου ἀθετούμενα τοῦ ποιητοῦ, πρὸς Πλάτωνα περὶ θεῶν, περὶ τῆς Ὁμηρικῆς συνηθείας, λύσεις Ὁμηρικῶν ἀπορημάτων, εἰς τὴν Ἡσιόδου θεογονίαν, καὶ ἄλλα συχνά.

b Ζηνόδοτος Ἐφέσιος, ἐποποιὸς καὶ γραμματικός, μαθητὴς τοῦ Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο, καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προὔςη, καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.

Ζηνόθεμις ὄνομα κύριον.

a Ζήνων Ἀλεξανδρεύς, ἀνὴρ Ἰουδαῖος μὲν γεγονώς, ἀπειπάμενος δὲ δημοσίᾳ πρὸς τὸ φῦλον τῶν Ἰουδαίων, ὡς παρὰ σφίσι νενόμιςαι, τὸν λευκὸν ὄνον ἐν τῇ ἀργούσῃ ἡμέρᾳ διὰ τῆς καλουμένης αὐτῶν συναγωγῆς ἐλασάμενος. οὗτος ὁ Ζήνων ἐπιεικὴς μὲν ἦν φύσει καὶ ἱερός, ἀλλὰ νωθέςερος ἐν λόγοις καὶ μαθήμασιν, ἐφιέμενος μὲν ἀεί τι μανθάνειν καὶ ἐρωτῶν ὅ τι ἂν ἀγνοοῖ, πάντα δὲ σχεδὸν ἀγνοῶν· καὶ γὰρ νοῆσαι βραδύτατος ἦν, καὶ τῶν νοηθέντων ὀψέ ποτε προδότης
b ὑπὸ λήθης ἑτοιμότατος. ἦν δὲ καὶ ἕτερος Ζήνων, τοῦ Πρόκλου ἑταῖρος, κατὰ τὸν αὐτὸν χρόνον, τῷ μὲν γένει Περγαμηνός, τῇ δὲ φύσει καὶ αὐτὸς ἐνδεέςερος τά γε πρὸς ἐπιςήμην, ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κατηρτυμένος. ὁπότερος δὲ αὐτοῖν ἀφορμὴν τῇ διαςάσει παρέσχετο τῷ Σαλουςίῳ πρὸς τὸν Πρόκλον, οὐκ ἔχω φράζειν.

c ὅτι Ζήνων βασιλεὺς Ῥωμαίων τὴν μὲν ὠμότητα, ᾗ ἐκέχρητο Λέων, ἐν τῇ φύσει ὀυκ εἶχεν· ὀυδὲ τὸ θυμούμενον ἀπαραίτητον αὐτῷ καθειςήκει ἐσάπαξ, οἷον τȣ̃ Λέοντος διέμενε. καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον· καὶ ἃ ἔπραττε, δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν, οὔτε εἶχεν ἐπιςήμην δι' ἧς ἔςιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. πρὸς δὲ κέρδος καὶ λῆμμα ὀυχ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο, οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα, οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. καὶ χρηςῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαςιανὸς ὁ τότε παραδυναςεύων ἦγεν αὐτὸν ὅπῃ ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα, καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι. ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα· καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προςιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. εἰ δέ τινι ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ πολιτοκάπηλος αὐτὸς ταύτην ὀλίγου παρ' ἐκείνου λαμβάνων ἄλλοις ἐδίδου τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

ὅτι Ζήνων ὁ βασιλεὺς πυθόμενος τῶν οἰκείων τὴν ἧτταν ἐς φρούριον καταφεύγει ἐπὶ λόφῳ κείμενον, ὃ Κωνςαντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. ὅπερ γνοὺς τοῖς συνοῦσι, ςενάξας, "θεȣ̃ παίγνιον" εἶπεν "ἄρα ὁ ἄνθρωπος, εἴγε καὶ ἐμὲ οὕτω παίζειν φιλεῖ τὸ δαιμόνιον. ἐμοὶ γὰρ δὴ οἱ μάντεις τὸν Ἰούλιον μῆνα ἐξ ἀνάγκης ἐν Κωνςαντινουπόλει διατεινόμενοι προὔλεγον. κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνςαντινούπολιν ἀναβήσεσθαι· νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς εἰς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον." cf. v. ἐξῆλθεν.

Ζήνων βασιλεὺς Ῥωμαίων, ὃς Ζήνωνα d
τὸν ἑαυτοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον προῆγέ τε δι' ἀξιῶν καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν, καὶ μαςροπεύοντες αὐτῷ τοὺς συνήθους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος, καὶ τὴν ὑποτυφομένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων, ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα αἴρειν καὶ (συλλήβδην φάναι) προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. ἀλλ' ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτὴν αὐτȣ̃ κακότητα τεθεαμένος, διαρρεύσαντα τῇ γαςρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι.

e *Ζήνων Διοσκορίδου Ταρσεύς*, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου ςωικοῦ, καὶ διάδοχος.

f *Ζήνων Κιτιεύς*. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. ἔγραψε περὶ ςάσεων, περὶ σχημάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην. περὶ ἐπιχειρημάτων.

g *Ζήνων Μνασέα ἢ Δημέα, Κιτιεύς* (πόλις δέ ἐςι Κύπρου τὸ Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς ςωικῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ αὐτὸς ςωικὸς διὰ τὸ ἐν τῇ ςοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρῶτον μὲν Πεισιανάκτειος, ὕςερον δὲ ζωγραφηθεῖσα ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ς, ἀφελὼν ἑκάςοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων ⟨cf. v. συγχρωτίζεσθαι⟩. Φοῖνιξ δ' ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς ρκε´ ὀλυμπιάδος. καὶ παροιμία "Ζήνωνος ἐγκρατέςερος·" οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥςε καὶ εἰς παροιμίαν χωρῆσαι. "φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει" ⟨Philemo ap. Diog. L. 7 27⟩· τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. κατέςρεψε δὲ τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.

h *Ζήνων Μουσαίου Σιδώνιος*, φιλόσοφος ςωικός, μαθητὴς Διοδώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

i *Ζήνων Τελευταγόρου Ἐλεάτης*, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους (ἦν γὰρ ἐπὶ τῆς οή ὀλυμπιάδος), μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου, ἔγραψεν ἔριδας, ἐξήγησιν τῶν Ἐμπεδοκλέους, πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον (οἱ δὲ Διομέδοντα) τὸν Ἐλέας τύραννον ἑάλω, καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὐτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ, καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.

*Ζηρυνθία* ἡ Ἀφροδίτη. καὶ *Ζηρύνθιον*, καὶ *Ζήρινθον* ἄντρον, ἐν ᾧ τοὺς κύνας ἔθυον. cf. v. Σαμοθρᾴκη.

*ζητεῖν* ἐπὶ τοῦ βούλεσθαι τιθέασιν Ἀττικοί· "μηδὲ σὺ ζήτει τι πυθέσθαι."

*Ζήτης* ὁ τοῦ Βορέου παῖς.

*ζητήσεται* ἀντὶ τοῦ ζητηθήσεται.

*ζητηταί* ἀρχή τις ἦν Ἀθήνησι, κατὰ καιροὺς καθιςαμένη, πρὸς ἣν ἐμηνύοντο οἱ ὀφείλοντες χρήματα τῇ πόλει καὶ μὴ ἀποδεδωκότες.

*ζητητηρίων ὄργανα* τὰ βασανιςήρια· "οἱ δὲ προσάγουσι πῦρ καὶ τὰ τῶν ζητητηρίων ὄργανα. ὃ δὲ τὰ πραχθέντα ἐξεῖπεν."

*ζητρεῖον* τὸ τῶν δούλων κολαςήριον Εὔπολις. cf. v. ζώντειον.

*ζητῶν*· "ζητῶν γὰρ ὄψον θοἰμάτιον ἀπώλεσα," ἐπὶ τῶν ἀτυχεςάτων.

*ζιβύνη* ὁλοσίδηρον ἀκόντιον, λόγχη, σπάθη.

*Ζιβύτης* ὄνομα κύριον.

*ζιζάνιον* ἡ ἐν τῷ σίτῳ αἶρα.

*Ζιήλας* ὄνομα κύριον.

*ζινίχιον* τὸ λωρίον τȣ̃ ὑποδήματος. cf. v. σφαιρωτήρ.

*ζίρης*. καὶ κλίνεται ζίρη, Σκυθικὴ φωνή. Lucian. Tox. 40.

*Ζολιμίηλος* ὄνομα κύριον.

*Ζοροβάβελ* ὄνομα κύριον.

*ζοφερά* ἡ σκοτεινή, καὶ *ζοφερόν* ὁμοίως.

*ζοφοδορπίας* ὁ σκοτεινὸς δεῖπνος.

*ζοφομηνία* ἡ ἔκλειψις τῆς σελήνης.

*ζόφον* τὴν δύσιν. οὕτως γὰρ καλεῖται ἡ δύσις ζόφος.

*ζοφώδης* ὁ σκοτεινός, καὶ *ζοφοειδής*.

*ζυγάδην* συνεζευγμένως.

*ζύγαινα* εἶδος ἰχθύος.

*ζυγάςροις*· Ξενοφῶν ⟨Cyr. 7 3 1⟩ "τὰ δὲ ἄλλα χρήματα παραδεχομένους ἐν ζυγάςροις ςήσαντας ἐφ' ἁμάξης κομίζειν, ἵνα ὅπῃ καιρὸς εἴη διαλαμβάνοιεν ἕκαςοι τὰ ἄξια." ζύγαςρον γὰρ ἡ ξυλίνη σορός.

*ζυγεῖν* ἐςὶ τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος ςίχῳ κεῖσθαι, ἤτοι παραλλήλως ἔχειν. ςιχεῖν ἐςὶ τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος ςίχῳ· τοῦτο γὰρ καὶ κυρίως λέγεται ςίχος.

*ζυγία* ἡ Ἥρα.

*ζυγιανός* ὁ ζυγός.

*ζυγίζω*.

ζύγιοι ἵπποι οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τετέστιν ὁ μέσος ἀριςερὸς καὶ ὁ μέσος δεξιός. καὶ ἁπλῶς ὁ μὴ παράσειρος οὕτω λέγεται.

ζυγόδεσμος (Hom. Ω 270) ὁ ἱμὰς τοῦ ζυγοῦ.

ζυγοί παρὰ Ἡροδότῳ (1 24) αἱ καθέδραι.

ζυγομαχεῖ ςασιάζει ὡς οἱ βόες ἐζευγμένοι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης· ἐκεῖνοι γὰρ πολλάκις, ὅταν ἕλκωσι κάμνοντες, ἐπερείδυσι τὸ βάρος πρὸς ἀλλήλους. κέχρηται Ὑπερίδης.

ζυγομαχεῖν, ἀπὸ τῶν πωλούντων ςαθμῷ καὶ διαφερομένων πρὸς τὰς ὠνυμένυς. οἱ δὲ ἀπὸ τῶν ὑποζυγίων, ἢ βοῶν ἢ ἵππων ἢ τινῶν τοιούτων, μὴ συμφώνως ἐργαζομένων. Ἡσίοδος (O. 434) "βόε δ' ἐνναετήρω ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος ὀκ ἀλαπαδνόν. οὐκ ἂν τώγ' ἐρίσαντε." Ἡρωδιανὸς δὲ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύνασθαι εἶναι τὴν λέξιν, ὅταν περὶ τὰς καθέδρας διαφέρωνται οἱ ἐρέται.

a ζυγός ἐν τοῖς τακτικοῖς τὸ ἐκ παρεςηκότων ἀλλήλοις πλῆθος. ἐρετικὴ καθέδρα. τὰ τοῖς ζῴοις ἐπιτιθέμενα. καὶ τὸν ζυγὸν ἐν θαλάμῳ. τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς. τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος. καὶ αἱ χηλαὶ τοῦ ἐν οὐρανῷ σκορπίου. καὶ ἡ ζυγοτρυτάνη· τρυτάνη δὲ τὸ ςάσιμον. καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων· Ἀριςοφάνης (Lys. 418) "τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν."

b ζυγός ὁ νόμος παρὰ τῇ θείᾳ γραφῇ. καὶ ὁ Χριςός (Matth. 11 29) "ἄρατε τὸν ζυγόν μυ, ὅτι χρηςός ἐςι, καὶ τὸ φορτίον μυ ἐλαφρόν." καὶ ζυγὸν τὴν τοῦ νόμου βαρύτητά φησιν ὁ Δαβίδ. Theodoret. in Ps. 2 3.

ζυγοςάτης. καὶ ζυγοςατῶ. cf. v. ἐζυγοςατεῖτο.

ζυγοφορούμενα ἐν ζυγῷ ςαθμιζόμενα.

ζυγῷ· "γυμνοὺς ὅπλων τοὺς ἄνδρας ζυγῷ καθ' ἕκαςον ἀποδυομένους ἐπονειδίςως ὑπελθεῖν προσαναγκάσαντες."

ζυγώθρισον ἴσωσον, ζυγοςάτησον. ἔασον τὸ ἀπορούμενον, ἔπειτα πάλιν ἀνασκόπησον καὶ οἷον ἀνοίγειν ἀποπειράθητι· τὸ γὰρ ἀναζυγοῦν ἐςὶ τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ ζυγώθρισον συνάρμοσον, σύμπηξον. Ἀριςοφάνης Νεφέλαις (743).

ζύγωθρον ὁ συνέχων τὰς δύο θύρας μοχλός.

ζυγῶσαι τὸ ζεῦξαι ζυγῷ· "ἥρως ζυγώσας εὐσθενεςάτῳ θράσει ταύρους."

ζῦθος οἶνος ἀπὸ κριθῆς γινόμενος.

ζύμη τὸ φύραμα, καὶ ζυμίτης ἄρτος.

ὅτι λόγος ἔχει ὡς ἀπὸ ς' ὥρας τῆς ιδ' τοῦ μηνὸς ἡμέρας, σάλπιγγος φωνέσης, πᾶς ἄρτος ζυμωτός, εἴ τις τοῖς Ἑβραίοις ὑπελείπετο, πυρὶ καιόμενος ἠφανίζετο.

ζῶ· Σοφοκλῆς (OR 410) "οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ."

ζῷα. ὅτι τὰ ζῷα ἄνω ἔχειν τὴν κεφαλὴν λέγεται οὐ πάντως ὡς πρὸς τὸ πέριξ λαμβανόμενα, ἀλλ' ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. καὶ τῶν ἀλόγων τοίνυν ζῴων τῶν πλείςων, σχεδὸν δὲ πάντων ἐπὶ γῆν κεκυφότων, ὡς μηδὲ τῶν ὀπισθίων ὑψηλοτέραν ἐπὶ τὸ πέριξ ἔχειν τὴν κεφαλήν, ὅμως λέγεται τὰ ἄνω τῶν ζῴων μέρη εἶναι κεφαλή τε καὶ τὰ κατὰ τὴν κεφαλήν. καὶ ἐπὶ τῶν φυτῶν τοίνυν ὡς μὲν πρὸς τὸ πέριξ ἄνω λέγοιντ' ἂν οἱ κλάδοι καὶ τὰ φύλλα, ὡς δὲ πρὸς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ μᾶλλόν ἐςι συμφυές, ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι. διὸ καὶ ἀναλογοῦσι κεφαλῇ. καὶ μὴν καὶ ςόματι· δι' αὐτῶν γὰρ ὡς διὰ ςόματος ἡ τροφὴ χορηγεῖται καὶ διοχετεύεται τῷ σώματι. cf. Philopon. in 2 4 de anima.

ζωάγρια καὶ ζώγρια, δι' ὧν λύτρων τὸ ζῆν περιγίνεται· ζωάγρια γὰρ τὰ ζωῆς χαριςήρια. Προκόπιος (Pers. 2 12) "τῷ Χοσρόῃ ζώγρια δόντες τὴν πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο."

ζωαρκῆ τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ ζωαρκές ὁμοίως.

ζωάς τὸ πληθυντικόν, καὶ τῶν ζωῶν.

Ζωβία ὄνομα κύριον.

ζωγράφος.

ζωγρεῖ ζῶντας λαμβάνει. καὶ ζώγρει ζῶντα φύλασσε.

ζωγρεῖον εἶδος σπυριδίου.

ζωγρία τὸ ζῷα ἀγρεύειν.

ζωγρίᾳ λαβεῖν ἀντὶ τοῦ ζῶντα λαβεῖν καὶ κρατῆσαι. καὶ Πολύβιος (1 79) "οἱ δὲ γενόμενοι ζωγρίᾳ κύριοι τοῦ ςρατηγοῦ τοῦτον ἀνεςαύρωσαν."

ζωγρίη. Ἡρόδοτος (6 28) "τὸν δὲ Ἱςιαῖον ζωγρίῃ ἔλαβεν. ἐζωγρήθη δὲ ὧδε· ὡς φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω, καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεν-

τηθήσεσθαι, Περσίδα γλῶσσαν μετεὶς καταμηνύει ἑαυτὸν ὡς εἴη Ἱςιαῖος Μιλήσιος." καὶ αὖθις "ὑπὲρ δὴ τούτων τέτῳ ζωάγρια ἀποδιδούς, ἥπερ οὖν δυνατὸν ἦν."

ζώδιον τὸ μικρὸν ζῷον.

ζώεσκον ἀντὶ τοῦ ἐπλούτουν· "ἐγὼν ἔτι ζώεσκον."

ζῴη εὐκτικῶς.

ζωή παρατήρησις καὶ μονὴ τῶν ὄντων. Artemid. 3 61.

ὅτι ἡ ζωὴ καὶ τὸ ζῆν πολλαχῶς λέγεται, τουτέςι, πλειόνων οὐσῶν ψυχικῶν δυνάμεων καθ' ἃς τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι' αὐτῶν ζωαὶ καὶ τὸ ζῆν, οἷον κατὰ νῦν, κατ' αἴσθησιν, κατὰ τὰ λοιπά. διὸ κἂν ἕν τι τέτων ὑπάρχῃ τινί, ζῆν λέγεται τὸ μετέχον αὐτοῦ. ὅθεν καὶ τὰ φυτὰ θρεπτικὴν ἔχοντα δύναμιν ζῇ, μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε τὴν αἰσθητικὴν μήτε τὴν κατὰ τόπον κινητικὴν μήτε τῶν ἄλλων μηδεμίαν. Philopon. in 2 de anima.

ὅτι ζῆν μὲν λέγεται τὰ φυτά, οὐ ζῷα δὲ εἶναι, διότι, ὥσπερ δρομέας λέγομεν οὐ τοὺς ὁπωσοῦν δρόμου μετέχοντας ἀλλὰ τὲς σφοδρῶς καὶ τρανέςερον μετειληφότας τοῦ τρέχειν, οὕτω καὶ ζῷα λέγονται οὐ τὰ ὁπωσὖν μετέχοντα τοῦ ζῆν καὶ τῆς ζωῆς, ἀλλ' ἐν οἷς τὸ ζῆν καὶ ἡ ζωὴ τρανέςερον καὶ περιφανέςερόν ἐςιν. id.

ζωὴ πίθου, ἐπὶ τῶν μετρίως καὶ ταπεινῶς ζώντων, ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἦν ἡ ἡδίςη καταγωγή.

ζωήν τὴν κτῆσιν, τὴν οὐσίαν. διαφέρει δὲ ζωὴ ψυχῆς· ζῇ γὰρ καὶ τὰ φυτά.

ζωηρός ὁ ζῶν καὶ παρέχων ζωήν.

Ζωίλος Ἀμφιπολίτης (πόλις δ' ἐςὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρότερον ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη ὁμηρομάςιξ, ὅτι ἐπέσκωπτεν Ὅμηρον· διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόσοφος, ἔγραψε μέντοι τινὰ καὶ γραμματικά, κατὰ τῆς Ὁμήρε ποιήσεως λόγους θ', ἱςορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς, βιβλία γ', περὶ Ἀμφιπόλεως, καὶ κατὰ Ἰσοκράτους τοῦ ῥήτορος.

ζῶμα ἡ ζώνη· Σοφοκλῆς ⟨El. 451⟩ "δὸς αὐτῷ τήνδ' ἀλιπαρῆ τρίχα καὶ ζῶμα τὸμὸν οὐ χλιδαῖς ἠσκημένον," τὴν ζώνην λέγων, ὃ τὸ ἔνδυμα.

Ζωμάλμη ὄνομα κύριον. ἦν δὲ Θασία. cf. v. Θασίαν.

ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα," ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. κέχρηται Πλάτων ἐν Ἱππίᾳ ⟨mai. p. 301 C⟩.

ζωμήρυσις μαγειρικὸν ἐργαλεῖον· ἐν ἐπιγράμματι ⟨AP 6 101⟩ "ζωμήρυσίν τε τὴν λίπους ἀφρηλόγον."

ζωμὸς μέλας ἡ λεγομένη αἱματία.

ζῶναι ἐπὶ γῆς πέντε, βόρειος, ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· εὔκρατος· ἡ καλουμένη διακεκαυμένη· ἀντεύκρατος· νότιος, ἀοίκητος διὰ ψῦχος. Diog. L. 7 156.

Ζωναῖος ἔγραψεν ἐρωτικὰς ἐπιςολάς, καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιςολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος.

ζώνη πορφυροῦν ἱμάτιον, Ἡρόδοτος a
⟨7 69⟩.

ζώνη τροπικῶς ἡ δύναμις, ἐπειδὴ ὁ ἐζω- b
σμένος εὐςαλέςερός ἐςι πρὸς τὴν πρᾶξιν. Theodoret. in Ps. 18 40, 65 9.

ζώνη τὸ ἀξίωμα· "ἀναζητουμένους τῆς c
βασιλίδος ὠθεῖσθαι οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην" (cf. v. αὐθέντης). καὶ Αἰλιανός "καί πως τὴν ζώνην τοῦ χρυσίου, ἣν ἐπήγετο ὁ ξένος, ὁ πανδοκεὺς ἐθεάσατο, καὶ παραχρῆμα ἐποφθαλμιᾷ." cf. vv. καταγωγῆς, κερματίζει, τιμωροῦντος.

ζώννυσθαι καθοπλίζεσθαι.

ζώντειον κολαςήριον οἰκετῶν.

ζωοδότειρα ζωὴν παρέχουσα.

ζωοδότης ὁ ζωὴν πᾶσι διδοὺς ἀγαθὸς θεός.

ζωὸς γενήσῃ κρομμύε λόπον λαβών," πρὸς τὲς ἀπὸ μικρᾶς αἰτίας μεγάλας δόξας καρπουμένους.

ζώπυρα τοῦ ζῆν ποιητικά. a

ζώπυρα φυσητῆρες, ὅθεν οἱ χαλκεῖς τὸ b
πῦρ φυσῶσι.

ζώπυρα λείψανα. c

ζωπυρεῖ ἀναζῆν ποιεῖ, ἢ ἐκκαίει.

ζωπυρῆσαι ἀναθάλψαι, ἐκ μεταφορᾶς a
ἀπὸ τοῦ πυρός, ἐπεὶ τὲς ἐξ ἀρρωςίας ἀναρρωννυμένους λέγουσιν Ἀττικοί.

ζωπυρῆσαι κυρίως ἐςὶ τὸ ἐκ μικροῦ b
σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. καὶ ἐπὶ πολέμου δὲ λέγεται.

*ζωπυρήσεις* ἀντὶ τοῦ ἀνεγερεῖς· ⟨A Lys. 683⟩ "εἰ μὴ τὼ θεὼ ζωπυρήσεις, λύσω τὸν ἐμαυτῆς ὑόν, καὶ ποιήσω τήμερον τὰς δημότας βωστρεῖν σ᾽ ἐγὼ πεκτούμενον."

*ζωπύρια* φυσητήρια.

*ζώπυρον* πεπυρακτωμένον, ἔνθερμον.

*Ζωπύρου τάλαντα.* Ζώπυρος ὁ Πέρσης βασιλεῖ χαριζόμενος, μαστιγώσας ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος, εἰσῆλθεν εἰς Βαβυλῶνα, καὶ πιστευθεὶς διὰ τὰ περὶ τὸ σῶμα προὔδωκε τὴν πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

a *Ζωροάστρης* Περσομήδος σοφός, ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ᾽ αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωικῶν ἔτεσι φ΄. φέρεται δὲ αὐτοῦ περὶ φύσεως βιβλία δ΄, περὶ λίθων τιμίων ἕν, ἀστεροσκοπικά, ἀποτελεσματικὰ βιβλία ε΄.

b *Ζωροάστρης* ἀστρονόμος ἐπὶ Νίνου βασιλέως Ἀσσυρίων, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· οὕτω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διὰ παντός. ὅπερ μέχρι νῦν πεφύλακται παρ᾽ αὐτοῖς.

*Ζωρομάσδρης* Χαλδαῖος σοφὸς ἔγραψε μαθηματικὰ καὶ φυσικά.

*ζωρόν* ζωτικόν.

*ζωροπόται* ἀκρατοπόται.

*ζωρότερον* ἀκρατότερον· ἐν ἐπιγράμματι ⟨AP 6 115⟩ "καὶ ζωρὸν κεράσας ἰσοχειλέα." καὶ Ὅμηρος εἰπών ⟨I 203⟩ "ζωρότερον δὲ κέραιε" διαφορὰς κράσεων λέγει, ὡς μίγματός τινος στερεμνίους ποιοῦντος τοὺς πίνοντας.

*ζώς* ⟨Hom. E 887⟩ ἀντὶ τοῦ ζῶν.

*ζώσας* ἐναργεστέρας, οὐκ ἀπολλυμένας· Σοφοκλῆς ⟨OR 44⟩ "ὡς τοῖσιν ἐμπείροισι καὶ τὰς ξυμφορὰς ζώσας ὁρῶ μάλιστα τῶν βουλευμάτων." τουτέστιν ἐν τοῖς συνετοῖς τὰς συντυχίας καὶ τὰς ἀποβάσεις τῶν βουλευμάτων ὁρῶ ζώσας καὶ οὐκ ἀπολλυμένας. ἀντὶ τοῦ οὐ σφάλλεται, ἀλλὰ τοῦ ἀποβησομένου στοχάζεται καλῶς.

*Ζωσιμᾶς* ὄνομα κύριον.

a *Ζώσιμος* Ἀλεξανδρεὺς φιλόσοφος χημευτικὰ πρὸς Θεοσεβίαν τὴν ἀδελφήν· ἔστι δὲ κατὰ στοιχεῖον ἐν βιβλίοις κή, ἐπιγράφεται δὲ ὑπό τινων χειρόκμητα. καὶ ὁ Πλάτωνος βίος.

b *Ζώσιμος* Γαζαῖος ἢ Ἀσκαλωνίτης, σοφιστής, κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ βασιλέως, ἔγραψε λέξιν ῥητορικὴν κατὰ στοιχεῖον, καὶ ὑπόμνημα εἰς τὸν Δημοσθένην καὶ εἰς Λυσίαν.

*ζῶσμα φαεινόν* ⟨Hom. ξ 482⟩ τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυσθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίως τὸ ζῶσμα· "οἱ Ῥωμαίων ψιλοὶ ἐφαπτίδα εἶχεν ἕκαστος αὐτῶν καὶ ζώσματα πρὸ τῶν μηρῶν."

*Ζώστειον* ὄνομα τόπου.

*ζωστήρ* ᾧ ἐπάνω τοῦ θώρακος χρῶνται.

*ζῶστρα* ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶνας βαθεῖς, οὓς ζώννυνται τῇ ζώνῃ.

*ζωύφιον.*

*ζωφυτεῖσθαι* ζῳογονεῖσθαι.

*ζώων ζῶν·* ⟨AP 9 397⟩ "ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις, καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις."

*ἦ* ἡ παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις ⟨106⟩ "ἦ ἦ σιώπα· μηδὲν εἴπῃς νήπιον." συγκαταθετικῶς. μὴ εἴπῃς δὲ εὐήθες.

περὶ τοῦ ἢ συνδέσμου. ἢ γὰρ διαζευκτικός ἐστιν ἢ διασαφητικὸς ἢ ὑποδιαζευκτικός. καὶ διαζευκτικὸς μὲν ὁ τὰ ἐναντία ἐν τῇ συντάξει διιστῶν, οἷον ἡμέρα ἢ νύξ, ⟨Hom. Ξ 108⟩ "ἢ νέος ἠὲ παλαιός." ὑποδιαζευκτικὸς δέ ἐστιν ὁ διάφορα πράγματα τιθεὶς καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν, οἷον "δός μοι χρυσὸν ἢ ἄργυρον ἢ λίθους τιμίους." διασαφητικὸς δέ, ὅταν τῶν δύο προτεθέντων τὸ ἓν αἱρῆται, οἷον "ἐν γῇ πένεσθαι κρεῖσσον ἢ πλουτοῦντα πλεῖν," καὶ "θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον."

*ᾗ* ἀντὶ τοῦ ὡς, καθώς.

*ᾗ νομίζεται* ⟨S OC 1603⟩ ὡς νενόμισται ἐπὶ τοῖς νεκροῖς.

*ᾗ* ὅπου, τοπικόν· "ᾗ ἅμα μὲν στερεὸν ἅμα δὲ χθαμαλὸν ἦν" ⟨cf. v. χθαμαλά⟩. καὶ αὖθις ⟨AP 7 98⟩ "ᾗ σὺ φιληδῶν οὕτως ἀρέσκῃ καὶ μένειν ἔγνως."

*ἦ* χωρὶς τοῦ ν, ἀντὶ τοῦ ἦν. "ἀλλ᾽ οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ" ἀντὶ τοῦ ἦα Ἀριστοφάνης Ὄρνισι ⟨1363⟩, καὶ ἐν Λυσιστράτῃ ⟨644⟩ "ἦ δεκέτις." ἀντὶ τοῦ ἦα, κατὰ συναίρεσιν ἦ, ἀντὶ τοῦ ἤμην, καὶ χωρὶς τοῦ ν· Ἀριστοφάνης Πλούτῳ ⟨77⟩ "ἆ κρύπτειν ἦ παρεσκευασμένος." τίθεται καὶ ἐπὶ γ΄ προσώπου. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἤμην ἐκ τῆς Ὁμηρικῆς διαιρέσεως ⟨Λ 762⟩ "ὡς ἔον, εἴ ποτ᾽ ἔην γε."